# ΑΡΓΥΡΟΠΟΥΛΕΙΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

## ΤΩ ΛΑΜΠΡΟΤΑΤΩ ΚΑΙ ΠΕΡΙΦΑΝΕΣΤΑΤΩ
### ΜΕΓΑΛΩ ΔΟΥΚΙ
### ΙΩΑΝΝΗΣ ΔΙΔΑΣΚΑΛΟΣ Ο ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Συνοπτικώτατον περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, ἐν ᾧ καὶ ἀνάπτυξις τοῦ Ὅρου τοῦ ἐν Φλωρεντίᾳ γεγενημένου.

---

Πᾶσι μὲν ἄλλοις ἐγώ σε τῶν εὐδαιμόνων νενόμικα, λαμπρό-

Περιλαμβάνεται ἐν τῷ Παρισιακῷ 1191, φ. 49ϐ - 53α, αἰῶνος ιε'(Ν), Παρισιακῷ 949, φ. 110α - 118α, αἰῶνος ις'(Π), Μαδριτείῳ 115 (4636), φ. 120α - 126ϐ, αἰῶνος ιε' (Μ), Ἀμβροσιακῷ M 41 sup., φ 36α - 46α, αἰῶνος ιε' (Α) καὶ Ἀμβροσιακῷ Q 84 sup., φ. 13α - 21ϐ, αἰῶνος.. (Β). Ἐξεδόθη δὲ τὸ πρῶτον ἐκ κώδικος ἡμῖν ἀγνώστου ὑπὸ τοῦ Λέοντος Ἀλλατίου (Graeciae orthodoxae Tomus primus. Ἐν Ῥώμῃ. 1652 σ. 400 - 418). Τῆς ἐκδόσεως δὲ ταύτης, ἧς αἱ διάφοροι γραφαὶ δηλοῦνται ἐνταῦθα διὰ τοῦ στοιχείου Γ, ἁπλοῦν ἀπότυπον εἶνε ἡ ἔκδοσις παρὰ τῷ Migne ἐν Ἑλληνικῆς Πατρολογίας Τόμῳ ΡΝΗ' σ. 991-1008 πλὴν ἐν ἐλαχίστοις, οἷον ὥςπερ ἀντὶ ὥςπέρ, κἀκεῖνο ἀντὶ κᾀκεῖνο, οἵός τε ἀντὶ οἷος τε, ὅ τι ἀντὶ ὅτι κτλ Σπανιώτατα δ' ὑπάρχουσί τινες καιριώτεραι διαφοραὶ δηλωθεῖσαι ἐν ταῖς κριτικαῖς σημειώσεσιν ἐνταῦθα διὰ τῆς λέξεως *Migne*. Περιττὸν δ' ἐθεώρησα νὰ σημειώσω ἰδίᾳ τὰς οὐκ ὀλίγας ἐν τῇ ἐμῇ ἐκδόσει ταύτῃ διαφορὰς περὶ τὴν στίξιν ἀπὸ τῶν ἐκδόσεων τοῦ Ἀλλατίου καὶ τοῦ Migne.

Ξ = ἅπαντες οἱ κώδικες.

Ἐπιγραφὴ Τῷ (ῷ Α) λαμπροτάτῳ - συνοπτικώτατον (συνοπτικότατον Β) - ἐκπορεύσεως (εὐπορεύσεως διαγραφέντος τοῦ εὐ ἀνθ' οὗ ἐκ ἐν τῇ ᾤᾳ Β) - γεγενημένου (γενομένου Γ) ΠΜΒΓ: Τῷ λαμπροτάτῳ καὶ περιφανεστάτῳ μεγάλῳ δουκὶ ἰωάννης διδάσκαλος ὁ ἀργυρόπουλος Ν: Τῷ λαμπροτάτω καὶ περιφανεστάτῳ ἀνδρὶ, κυρίῳ λουκᾶ διερμηνευτῇ τῷ μεγάλῳ δουκὶ ἰωάννης ὁ ἀργυρόπουλος Μ

1. Πᾶσι ΝΠΒΓ: ᾶσι Α: Ἅπασι Μ ἐγώ σε ἐν συνεχείᾳ τοῦ κειμένου ΝΠΜΒ: ἄνωθεν Α σε ΝΠΑΜΓ: σε ἐν δὲ τῇ ᾤᾳ σοι Β

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τατε καὶ περιφανέστατε μέγα δοὺξ, ὧν ἕκαστον ἀμήχανον ἐξειπεῖν, οὐ μόνον κατὰ τὸν ἐνεστηκότα χρόνον, ὃς ἡμῖν ἄγαν βραχύτατος ξυγκεχώρηται, ἀλλ' οὐδ' ὅτε καιρὸς τῶν σῶν ἐγκωμίων, ὅθ' ὑπόθεσιν λαμπροτάτην, οἶμαι, τὰ σὰ ποιησόμεθα, οὐχ ἧττον δὲ καὶ τῇ ἣν ἔχεις περὶ τοὺς λόγους σπουδὴν, οὓς τῶν ἐν ἡμῖν ἁπάντων νομίζων τὸ τιμιώτατον νῦν μὲν ἱστορίαις χαίρεις καὶ ἅπερ ἐν ξυγγραφαῖς περιέχεται, νῦν δὲ φιλοσοφεῖς ἀκριβῶς, ὥσπερ τις ἐν Ἀκαδημίᾳ τραφεὶς ἢ πλοκὰς εἰδὼς λόγων, οὓς αὐτὸς ἔπλεξεν ὁ Περίπατος, μάλιστα δ' ὅτι, μόνος σχεδὸν τὰ δημόσια πλάττων καὶ τοὔθ' ὑπάρχων ἐν Πόλει, ὅπερ ἐν σώματι δήπου ψυχὴ καὶ ὅπερ νοῦς ἐν παντί, οὐδὲ τῶν θεολογικῶν ἄμοιρος ἐγένου δογμάτων, ἀλλ' οὕτω τοι καλῶς καὶ τούτων τὸ πλεῖστον ἐξήσκησας, ὥστε μηδένα ῥαδίως πιστεύειν, ὅτι σοι καὶ περὶ ἄλλων γέγονε λόγος. Σημεῖον δὲ, ὅτι πᾶς ὁστισοῦν θεολογίαν εὖ ἠσκηκὼς, πεῖραν διδοὺς καὶ λαμβάνων, ἄπεισι μᾶλλον θαυμάζων ἢ θαυμαζόμενος.

3. ξυγκεχώρηται ΠΜΑΓ: ξυγκεχωρῆται Ν: συγκεχώρηται Β  οὐδ' ΝΠΜΑΓ: εἰδ' ἐν δὲ τῇ ᾤᾳ οὐ Β  4. ὅθ ΠΜΑΒΓ: ὁθ' Ν  τὰ σὰ ΠΜΑΒΓ: τασὰ Ν  ποιησόμεθα ΠΜΑΒΓ: ποιησώμεθα Ν  οὐχ' ΠΜΑΒΓ: οὐχ' Ν  5. τῆ ΝΠΑΓ: τὴν ΜΒ  περὶ τοὺς λόγους ἐν τῷ κειμένῳ ΝΠΜΑΓ: ἐν τῇ ᾤᾳ Β  σπουδὴν Ξ. Δὲν εἶνε ἀνάγκη νὰ γραφῇ σπουδῇ  6 τιμιώτατον ΝΜΑΒΓ: τιμιώτατον Π  ἱστορίαις ΝΠΜΑΓ: ἱστορία ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ᾤᾳ ἱστορίαις Β  χαίρεις ΝΠΜΑΓ: χαίρεις[η] Β  7. ξυγγραφαῖς ΝΜΑΓ: συγγραφαῖς Π: υγγραφαῖς Β  φιλοσοφεῖς ἀκριβῶς ΝΠΜΑΓ: ἀκριβῶς φιλοσοφεῖς Β  ὥςπερ Μ: ὥςπέρ ΝΠΑΒΓ  11. ἐγένου ΝΠΜΑΒ: ἐγίνου Γ  12. καὶ ΝΜΑΒΓ: και Π  τούτων ΝΠΑΒΓ: τούτων ἐκ τοῦ τὸ πρῶτον γραφέντος τοῦτον Μ  13. καὶ ΝΠΑΒΓ: λείπει Μ  14. ὅτι πᾶς ἐν τῷ κειμένῳ ΝΠΜΑΓ: ἐν τῇ ᾤᾳ Β  15 ἄπεισι ΝΓ: ἄπισι Π: ἄπασι ΜΑΒ  μᾶλλον ΝΜΑΒΓ: μᾶμον Π  θαυμάζων ἢ θαυμαζόμενος ΝΜΒΓ: θαυμαζόμενος[β] ἢ θαυμάζων[α] Α: θαυμαζόμενος[β] ἢ θαυμάζων Π

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Οὕτω περίεστί σοι μελέτης, καὶ ταῦτα τῆς τῶν κοινῶν φροντίδος ἐχόμενος καὶ ἃ σώζειν ἐθέλει τὴν ἡμετέραν, ἄλλοτε ἄλλαις τύχαις οὐκ ἔξω πραγμάτων οὖσαν, ἀλλ' αἰεὶ θνήσκουσαν τῷ δέει τοὺς αὐτῇ πολεμίους. Χάριεν δέ σου κἀκεῖνο, ὅτι, μόνος αὐτὸς οἷός τε ὢν τοῖς δόγμασιν ἐφιστάνειν, οὐδὲ τὴν σὴν ἡμῖν ἀπαξιοῖς θεωρίαν, ἀλλὰ λέγεις μὲν αὐτὸς ἅ σοι περὶ ἐνίων δοκεῖ, ἀκούεις δὲ καὶ ἡμῶν ὅ τι φρονοῦμεν περὶ αὐτῶν, ὡς οὐχ οἷόν τε ὂν τὴν περὶ αὐτῶν δόξαν ἐρρῶσθαι, ἂν μὴ καὶ τοῖς εἰδόσι ταὐτὰ δοκῇ. Αὐτὸς μὲν μηδέποτε παύσαιο τοιούτοις συζῶν ἀγαθοῖς ἅ τε οἰκεῖά φασιν ἀνθρώπῳ καὶ οἷς ἐθέλει τὸ μακάριον περιγίγνεσθαι. Ἡμεῖς δὲ, διττὰς εἰδότες σοι διὰ ταῦτα τὰς χάριτας ὧν τε ἡμᾶς ἀξιοῖς καὶ ὧν ἐντεῦθεν κοινῇ χρηστῶν ἀπολαύομεν, περιεργότερον μὲν

1. περίεστί ΝΛΒΓ: περιέστι ΜΠ  σοι ΝΜΑΒΓ: σοὶ Π  ταῦτα ΝΠΜΑΓ: πάντα Β  2. σώζειν ΝΠΜΑΓ: σώζειν ἐκ τοῦ τὸ πρῶτον γραφέντος σώσειν Β  ἐθέλει ἐν τῷ κειμένῳ ΝΠΑΒΓ: ἐν τῇ ᾤᾳ πρόσθετον διὰ σημείου ∧ Μ  τὴν ἡμετέραν ΝΠΑΒΓ: τῶν ἡμετέρων Μ  ἄλλοτε ΝΜΑΒ: ἅλλοτε Γ: ἄλλοται Π

4. κἀκεῖνο ΝΠΜΑΒ: κᾳκεῖνο Γ  5. οἷός Π: οἷος ΝΜΑΒΓ  σὴν ΜΑΒΓ: σὺν ΝΠ  7. ὅ τι Ξ: ὅτι Γ  οἷόν ΝΓ: οἷον ΠΜΑΒΓ  ὂν ΝΜΑΒΓ: λείπει Π  8. ταὐτὰ ἔγραψα: ταῦτα ΞΓ

9. μηδέποτε ΝΠΑΒΓ: μηδέποτε ἐκ τοῦ τὸ πρῶτον γραφέντος μὴδέποτε Μ  παύσαιο ΠΜΑΒΓ: σαιο Ν  τε ΠΑΒΓ: τὲ ΝΜ

9-10. οἰκεῖά φασιν ἔγραψα: οἰκεῖα φασὶν ΠΜΑΒΓ: οἰκεῖοι φασὶν Ν

10. περιγίγνεσθαι ΠΝΜΑ: περιγίνεσθαι ΒΓ  ἡμεῖς ΝΜΑΒΓ: ἡμεὶς Π  11. δὲ ΠΜΑΒΓ: δὲν Ν  διὰ ταῦτα ΝΠΑΓ: διαταῦτα Μ: διὰ ταῦτας Β  ὧν ΝΜΑΒΓ: ὡς Π  τε ΝΠΑΒΓ: τὲ Μ

12. κοινῇ ΝΠΜΑΓ: κοινῇ ἐκ τοῦ τὸ πρῶτον γραφέντος κοινὴ Β  χρηστῶν ΝΠΜΑΓ: χρηστῶν ἐκ τοῦ τὸ πρῶτον γραφέντος χρητῶν Β  ἀπολαύομεν ΝΜΒΓ: ἀπολαύομεν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀπολαύωμεν Α: ἀπάνομεν Π  περιεργότερον ΝΠΜΑΓ: περιεργότερον ἐκ τοῦ τὸ πρῶτον γραφέντος περιεργώρον Β

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἐν ἄλλοις, σοῦ ξυνεφαπτομένου, θεολογήσομεν πολλῶν τε ἄλλων πέρι καὶ δὴ καὶ περὶ οὗ λόγος ἡμῖν ἐγένετο πρότριτα. Νῦν δὲ ὀλίγ' ἄττα σὴν χάριν περὶ τῆς τοῦ ἁγίου Πνεύματος προόδου φιλοσοφήσομεν. Ἐκέλευσας γάρ, καὶ οὐκ ἦν ἀπειθεῖν τοιαύτῃ δυνάμει.

Τριῶν οὖν ὄντων ἐν τοῖς θείοις προσώπων κατὰ τὰς θεολογικὰς ὑποτυπώσεις τε καὶ ἀρχάς, πατρός, υἱοῦ τε καὶ θείου Πνεύματος, ἡνωμένων μὲν τῇ οὐσίᾳ, διακρινομένων δὲ ταῖς ἰδιότησι, χρήμασι παράγει μὲν τὸ ἓν ὁ πατήρ, παράγεται δὲ τὰ δύο, υἱός τε καὶ Πνεῦμα ἅγιον. Οὔτε γὰρ ἀφ' ἑαυτῶν ἔδει ταῦτ' εἶναι, ἵνα μὴ ἑτερότης γένοιτο φύσεως, οὔτ' ἐξ ἀλλήλων παράγεσθαι οἷς αὐτὸ ἑαυτό τι παράγειν ἀμήχανον. Ἓν οὖν διὰ τοῦτο τό γε παρά·

1. σοῦ ΝΠΒΓ: σου ΜΑ θεολογήσομεν ΝΠΜΑΓ: θεολογήσωμεν μετὰ ὀξείας καὶ ἐν τῷ δευτέρῳ ο διαγραφείσης Β τε ΝΠΑΓ: λείπει ΜΒ 2. πέρι ΝΜΑΒ: περὶ ΠΓ περὶ ΝΠΜΑΒ: πέρι Γ πρότριτα ΝΠΜΑΓ: πρότριτα ἐκ τοῦ τὸ πρῶτον γραφέντος πρώτριτα Β 3. ὀλίγ' ΠΜΑ: ὀλίγα ΒΓ: ὀλίγά Π ἄττα ΝΜΑΒΓ: ἄττε Π σὴν ΝΜΑΒΓ: νὴν Π 4. φιλοσοφήσομεν ΝΠΜΒΓ: φιλοσοφήσωμεν Α οὐκ ἦν ΝΠΜΑΓ: οὐκοῦν ἐν δὲ τῇ ᾤᾳ Γρ. οὐκ ἦν Β 7. ὑποτυπώσεις ΝΜΑΒΓ: ὑποτῦπωσεῖς Π τε ΝΠΑΒΓ: τὲ Μ 8. διακρινομένων ΝΜΑΒΓ: διακρὶνομὲνων Π δὲ ΠΜΑΒΓ: δὲν Ν 9. χρήμασι ΜΑΒΓ: χρήματι ΝΠ παράγει ΠΜΑΒΓ: παράγη Ν παράγεται ΝΠΜΑΓ: παράγει Β 10. ταῦτ' εἶναι ΝΜΑΒΓ: ταυτεῖναι Π 11. γένοιτο ΝΠΜΑΓ: γέννητο ἐκ τοῦ τὸ πρῶτον γραφέντος γέννητω ἐν δὲ τῇ ᾤᾳ γένοιτο Β οὔτ' ΝΠΜΑΒ: οὔτε Γ παράγεσθαι ΝΠΑΒΓ: παράγεται Μ 12. αὐτὸ ΝΠΜΑΓ: ἐξ ἑαυτοῦ Β ἑαυτὸ ΝΜΑΒΓ: ἑαυτὸ Π διὰ τοῦτο ΝΠΜΒΓ: διατοῦτο Α τό γε ΝΠΜΑΓ: τότε ἐν δὲ τῇ ᾤᾳ τό γε Β παράγον ΝΠΜΑΓ: παράγων Β

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

γον, τὰ δὲ λοιπὰ παραγόμενα· παράγων δὲ ὁ πατὴρ παρακτικὰς δήπουθεν ἕξει δυνάμεις, διακρινομένας πως καὶ αὐτὰς οἷς δι' αὐτῶν διακρινόμενα παράγεται πρόσωπα, τὴν μὲν ᾗ τὸν υἱὸν, τὴν δ' αὖ πάλιν ᾗ παράγει τὸ Πνεῦμα τὸ ἅγιον, ἀρχὰς οὔσας τε καὶ δυνάμεις καὶ γονιμότητας αἷς μήτε παραγούσας μήτε μὴν παραγομένας αὐτάς· ἑκάτερον γὰρ ὑποστάσεως ἴδιον· οὐ τελειοτήτων οὐδὲ δυνάμεων· ἐν ὑποστάσει γὰρ τὰ τοιαῦτα καὶ ἐνυπόστατα. Καλεῖται δὲ πρὸς τῶν θεολογούντων αὐτῶν ἡ μέν τις γεννητικὴ, ἡ δ' αὖ προβλητικὴ δύναμις· διὸ καὶ τῶν παραγομένων τὸ μὲν γέννημα καὶ υἱὸς, τὸ δὲ πρόβλημα καὶ πνεῦμα προσαγορεύεται. Δεῖ γὰρ τὰ ἐκ τῶν ἀρχῶν ἐν τοῖς τοῦ αὐτοῦ εἴδους ταῖς σφῶν αὐτῶν πως ἀρχαῖς ἐοικέναι καὶ ἐξ ἐκείνων ἔχειν καὶ τοὔνομα.

Ἐπεὶ δὲ τοῖν παραγομένοιν ἑκάτερον ἐκ τῆς οὐσίας λέγεται τοῦ πατρὸς, αὐτὴ δὲ οὔτε γεννᾷ οὔτε γεννᾶται, οὔτε μὴν προβάλ-

1. τὰ δὲ ΠΜΑΒ: ταδὲ Γ: τὰ δὲν Ν  παραγόμενα ΝΜΑΓ: παράγόμενα Π: παραγόμενα ἐκ τοῦ τὸ πρῶτον γραφέντος παραγομένα Β. Τελευτῶντος δ' ἐν ταύτῃ τῇ λέξει τοῦ στίχου ἐν τῷ Β, ἕπεται ἐν συνεχείᾳ Γρ. ὀλίγον δὲ περαιτέρω ἐν τῇ ὤᾳ παράγων διαγεγραμμένον  2. πως ΝΠΜΑΓ: πῶς Β  3. ἣ ΝΠΑΒ: ἣ ΜΓ: ᾗ Γ: ἣ ΝΠΑΒ: ἣ Μ  4. οὔσας ΝΠΜΑΓ: οὖσας Β  τε ΠΜΑΒΓ: τὲ Ν  5. γονιμότητας ΝΜΑΒΓ: γονημότητας Π  αἷς ΝΜΑΒΓ: αἶς Π  6. ἑκάτερον ΝΜΑΒΓ: ἐκάτερον Π  ἴδιον ΝΜΑΒΓ: ἴδιον Π  τελειοτήτων ΝΜΑΒΓ: ταιλεῖοτήτων Π  7. ὑποστάσει ΝΜΑΒΓ: ὑπὸστάσει Π  ἐνυπόστατα ΠΜΑΒΓ: ἐνῦπόστατα Ν  9. ἡ δ' αὖ ΜΑΓ: ἡ δ' ἦν Β: ἣ δ' ἦν ΝΠ  διὸ ΝΜΑΒΓ: δυὸ Π  11. αὐτοῦ ἐν τῷ κειμένῳ ΝΠΜΑΓ: ἐν τῇ ὤᾳ Β  12. αὐτῶν ΝΜΑΒΓ: αυτῶν Π  πως ΠΜΑΒΓ: πῶς Ν  ἐοικέναι ΝΠΜΑΓ: ἐοικέναι Β  ἔχειν ΝΠΜΑΓ: ἔχει Β  καὶ ΝΠΑΒΓ: λείπει Π  13. παραγομένοιν ΠΜΑΒΓ: παραμένοιν μένοντος ἐν τῷ μεταξὺ κενοῦ δύο γραμμάτων Ν  14. οὔτε γεννᾶται οὔτε ΝΜΑΒΓ: οὔται γεννᾶται οὔτε Π  μὴν ΝΠΜΑΓ: μὴν μετὰ διόρθωσιν Β

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λει οὔτε προβάλλεται, καθάπερ οἱ θεολογοῦντές φασιν, ἀνάγκη τὴν οὐσίαν ἀρχὴν ἑκατέρων εἶναι τοιαύτην ᾗ παράγει πατὴρ ἑκάτερον, υἱόν τε καὶ Πνεῦμα ἅγιον· ἄλλως τε καὶ τῆς αὐτῆς οὐσίας ὄντα τά τε παραγόμενα τῷ παράγοντι καὶ ἀλλήλοις τὰ παραγόμενα οὐκ ἂν ἄλλως εἶεν ἢ ἐκ τῆς τοῦ πατρὸς οὐσίας ὡς ἀρχῆς καὶ δυνάμεως, ἡ οὔτε παράγει οὔτε παράγεται οὔτ' ἐν τῷ ἐξ οὗ οὔτ' ἐν τῷ πρὸς ὃν ὅρῳ, ἐν τῷ πατρὶ δῆλα δὴ οὖσα καὶ ἐν τῷ υἱῷ καὶ τῷ Πνεύματι καὶ ὡς ἀρχὴ καὶ ὡς εἶδος τό γε διδόμενον. Ἀλλὰ μήν, τῆς τοῦ πατρὸς ὑποστάσεως τῆς αὐτῆς οὔσης, ὅτε παράγει τὰ πρόσωπα, καὶ τῆς οὐσίας μιᾶς καὶ τῆς αὐτῆς αὖ πάλιν οὔσης ἀρχῆς καὶ δυνάμεως, τὰ παραγόμενα τὰ αὐτὰ ἂν ἦν πάντη πάντως, μᾶλλον δὲ ἓν ἂν ἦν τῷ ὄντι τὸ παραγόμενον πρόσωπον, εἰ μὴ τῇ οὐσίᾳ καὶ ἄλλ' ἄττα ξυνῆν, δι' ὧν διάφοροί πως γένοιντ' ἂν αἱ δυνάμεις, αἷς υἱὸς καὶ Πνεῦμα παράγεται· τὰ δὲ ἄρα νοῦς ἂν εἶεν καὶ βούλησις, ὁ μὲν ἅμα τῇ οὐσίᾳ ἀρχὴ καὶ δύναμις ὢν δι' ἐνεργείας τῆς γεννήσεως παρακτικὴ τοῦ υἱοῦ, διὸ καὶ Λόγος ὁ τοῦ θεοῦ υἱὸς ὑπὸ τῆς θεολόγου βροντῆς ὠνόμασται· νοῦ γὰρ γέννημα λόγος· ἡ δ' αὖ συνάμα τῇ αὐτῇ οὐσίᾳ, ἡ βού-

1. οὔτε ΝΜΑΒΓ: οὗτε Π  θεολογοῦντές ΜΑ: θεολογοῦντες ΝΠΒΓ  φασιν ΜΑ: φασὶν ΝΠΓ: φησὶν Β  6. ἡ ΝΠΜΑΓ: ἢ ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἢ Β  οὔτ' ἐν ΝΜΑΒΓ: οὔτεν Π  δῆλα δὴ ΜΑ (;) δηλαδὴ ΝΠΒΓ  υἱῶ καὶ τῶ ΝΜΑΒΓ: λείπουσι Π  9. ὅτε ΝΠΜΑΓ: ὅτε ἐκ τοῦ τὸ πρῶτον γραφέντος οὔτε Β  10. αὖ ΝΠΑΒΓ: οὔσης (διαγεγραμμένον) αὖ Μ  11. δυνάμεως ΝΜΑΒΓ: δύνάμεως Π  12. ἓν ΝΜΑΒΓ: ἒν Π  τῷ ὄντι ΑΒΓ: τωόντι Μ: τωόντι ΝΠ  τὸ ΝΠΜΑΓ: λείπει Β  13. εἰ μὴ ΝΠΜΑΒ: εἰμὴ Γ  ἀλλ' ἄττα ΜΒΓ: ἄλλάττα Α: ἄλλαττα ΝΠ  ξυνῆν ΝΠΜΑΓ: ξυνεῖν Β  δι' ΠΜΑΒΓ: δι Ν  διάφοροι ΠΜΑΒΓ: διαφοροι Π  14. γένοιντ' ΝΜΑΓ: γένοιντ Π: γένοιτ' Β  16. ὢν ΝΜΑΒΓ: ὧς Π  17. ὠνόμασται ΝΠΜΑΓ: ὠνόμασθαι Β  18. γέννημα ΝΜΑΒΓ: γένημα Π  ἡ ΝΠΑΓ: ἢ ΜΒ  δ' ΝΜΑΒΓ: δ Π  συνάμα ΠΜΑΓ: συνάμ Ν: σὺν ἅμα Β  τῇ αὐτῇ οὐσίᾳ ΝΠΑΒΓ: τῇλούσία (αὐτῆ) Μ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λησις, ἀρχὴ καὶ δύναμις οὖσα δι᾿ ἐνεργείας τῆς προβολῆς ἢ πνεύσεως παρακτικὴ τῆς τοῦ ἁγίου Πνεύματος ὑποστάσεως οὐχ ὡς ἀρχὴ αὐτεξούσιος, ἀλλ᾿ ὡς ἀναγκαία καὶ φυσική τις δύναμις καὶ ἀρχή. Διὸ πρὸς τῶν θεολογούντων ἀγάπη τὸ θεῖον κέκληται Πνεῦμα· τῆς γὰρ ἀγάπης ἡ δύναμις βούλησις.

Ξυνᾴδει δὲ τὰ λεγόμενα ταῖς τῶν θεολογούντων φωναῖς, οὐχ ἧττον δὲ τοῖς εἰρημένοις ὑπὸ τοῦ ἱεροῦ Αὐγουστίνου ἐν τῷ Περὶ τριάδος βιβλίῳ, ἐν οἷς καὶ μνήμην μὲν τὴν γεννητικήν, βούλησιν δὲ τὴν πνευστικὴν ἐκάλεσε δύναμιν.

Φανερὸν οὖν ἐκ τῶν εἰρημένων, ὅτι ὁ πατὴρ πηγαία θεότης καὶ μόνος αἴτιος καὶ πηγὴ μόνη τῆς ὑπερουσίου θεότητος καὶ μόνος γεννήτωρ ἅμα καὶ προβολεὺς ὅσα τε ἄλλα πρὸς τῶν θεολογούντων ὠνόμασται, οὐ μόνον τῷ παρὰ μηδενὸς ἔχειν τὰς εἰρημένας δυνάμεις καὶ γονιμότητας, ἀλλὰ καὶ τῷ μόνον αὐτὸν ἐν τοῖς θείοις εἶναι τὸν μόνον παράγοντα. Αὐτὸς γὰρ μόνος ἐστὶν ὁ παράγων ταῖς εἰρημέναις δυνάμεσιν ὡς πηγὴ καὶ ἀρχὴ καὶ αἰτία καὶ ὅ τι ἂν εἴποι τις τῶν ὁμοίων. Φανερὸν δὲ καὶ ὅτι αἱ εἰρημέναι

2. οὐχ ὡς ΝΜΑΒΓ: οὐχὼς Π  3. ὡς ΝΜΑΒΓ: ὃς Π  ἀναγκαία ΠΑΒ: ἀναγκαία ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀναγκαῖα ΝΜ: ἀναγκαῖα Γ  φυσική τις ΝΠΜΑΓ: φυσικὴ τίς Β  6. ξυνάδει ΝΠΜΑΓ: συνάδει Β  τὰ λεγόμενα ΝΜΑΒΓ: τάλλεγόμενα Π  οὐχ ΠΜΑΒΓ: οὐχ᾿ Ν  7. εἰρημένεις ΝΠΜΑΓ: ἠρημένοις ἐκ τοῦ τὸ πρῶτον γραφέντος εἰρημένοις Β  8. μνήμην ΝΠΜΑΓ: μνή$^{μ}$ Β  10. ὁ ἐν συνεχείᾳ τοῦ κειμένου ΝΠΜΓ: ὁ ἐν συνεχείᾳ τοῦ κειμένου μετὰ διόρθωσιν Β: ὁ ἄνωθεν Α  πηγαία ΜΒ: πηγαῖα ΝΠΑΓ  11. μόνος ἔγραψα: μόνον ΞΓ  μόνη ΝΠΜΑΓ: μόνης Β  12. γεννήτωρ ΜΒΓ: γενήτωρ ΠΑ: γέννητωρ Ν  τε ΝΠΜΑΒ: τ᾿ Γ  ἄλλα ΝΜΑΒΓ: ἄλλα Π  τῶν ΝΜΑΒΓ: των Π  13. τῶ ΝΠΜΑΓ: τὸ Β  παρὰ μηδενὸς ΠΜΒΓ: παρὰ μηδενὸς (τὸ πρῶτον μὴδενὸς) Ν: παραμηδενὸς Α:  14. τῷ ΝΠΜΑΓ: τῷ$^{ὁ}$ Β  αὐτὸν ΝΠΜΑΒ: αὐτῷ Γ  16. ταῖς ΝΜΑΒΓ: ταὶς Π  17. ὅ τι ΝΠΜΑΒ: ὅτι Γ  τις ΝΜΒΓ: τίς Π: τὶς Α



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

δύο δυνάμεις ἡ θεία οὐσία πάντως ἐστὶ καὶ τὰ ἀποδιδόμενα τῷ θεῷ, νοῦς τε καὶ βούλησις. Νοῦς δὲ ἄρα καὶ βούλησις τελειότητες. Δυοῖν δὲ ὄντοιν τοῖν παραγομένοιν προσώποιν, υἱοῦ τε καὶ θείου Πνεύματος, ὁ μὲν πρόεισιν ἐκ τοῦ πατρὸς ᾗ πατήρ, διὸ καὶ πρὸς αὐτὸν ἀναφέρεται τῇ υἱότητι· υἱὸς γὰρ πατρὸς ὥςπερ καὶ πατὴρ ὁ πατὴρ υἱοῦ λέγεται· τὸ δ' αὖ πάλιν ἐκ τοῦ αὐτοῦ πατρὸς ἐκπορεύεται οὐχ ᾗ πατήρ, ἀλλ' ᾗ προβολεὺς δήπου καὶ προβάλλων καὶ πνέων καὶ ὅσα τῆς ὁμοίας ὄντα τυγχάνει δυνάμεως, διὸ καὶ πρὸς αὐτὸν τὸ θεῖον ἀναφέρεται Πνεῦμα τῇ προβολῇ· προβολέως γὰρ πρόβλημα λέγεται, καθάπερ καὶ προβολεὺς αὖ προβλήματος προβολεύς. Ὥςπερ οὖν τοῦ προβολέως ὁ πατὴρ προεπινοεῖται κατὰ μὲν τὸ ἀΐδιον οὔ· ἅμα γὰρ κατ' ἐκεῖνο πατήρ τε καὶ προβολεύς, συναϊδίως τοιοῦτος ὤν· κατὰ δὲ τὸ δύνασθαι καὶ προάγειν· πρότερον γὰρ τὸν υἱὸν παράγει τοῦ Πνεύματος, ἤδη νοούμενος ὑφεστηκέναι τῇ πρὸς τὸν υἱὸν ἰδιότητι, τῇ πατρότητι· οὕτω καὶ ὁ υἱὸς αὖ πάλιν προεπινοεῖται τοῦ Πνεύματος, οὐχ ὅτι οὐχ ἅμα

1. θεία ΠΜΑΒΓ: θεῖα Ν ἐστὶ ΝΠΜΑΓ: ἔστι Β 2. δὲ ΝΠΑΒΓ: τε Μ 3. τοῖν ἐν συνεχείᾳ τοῦ κειμένου ΝΜΑΒΓ: ἄνωθεν Π παραγομένοιν ΝΠΜΑΓ: παραγομένηνιν (ο ἄνωθεν) διορθωθέντος καὶ αὐτοῦ τοῦ τὸ πρῶτον ἐν τῇ συνεχείᾳ τοῦ κειμένου γραφέντος η εἰς ο· ἤτοι ἔγραψε μὲν πρῶτον παραγομένην, εἶτα δὲ διέγραψε διὰ τῆς κάτω γραμμῆς τὸ ην καὶ διόρθωσεν εἰς οιν προςθεὶς μὲν τὸ ο ἄνωθεν, διορθώσας δὲ τὸ η εἰς ο καὶ προςθεὶς ἐν τέλει τὸ ιν Β προσώποιν ΝΠΒΓ: λείπει ΜΑ 4. ἐκ τοῦ ΠΑΒ: αὐτοῦ ΝΜΓ ᾗ ΝΜΑΒΓ: ἡ Π πατὴρ ΝΠΜΑΓ: ὁ πατὴρ Β 6. ὁ ΝΠΜΑΓ: λείπει Β

7. οὐχ ΝΠΜΒΓ: οὐχ' Α (καὶ 9). προβολεὺς ΠΜΑΒΓ: προβολὲς Ν 9 (καὶ 11). προβολέως ΝΠΜΑΓ: βολέως προτασσομένου προ συνεσφιγμένου Β 10. πρόβλημα ΝΑΒΓ: πρόβλημα Π: πρόβλημα σοι Μ προβλήματος ΠΜΑΒΓ: προβολήματος Μ 11. προεπινοεῖται ΝΠΜΑΓ: ‸ἐπινοεῖται ἐν δὲ τῇ ὤᾳ προ Β 12. ἀΐδιον ΝΜΑΒΓ: ἀΐδιον Π οὔ ΝΠΜΑΒ: οὐ Γ 13. Ἐν τῇ ὤᾳ + Ὅρα κἀνταῦθα φλυαρίαν πολλοῦ γέλωτος ἀξίαν Ν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀλλήλοις συναϊδίως ἐστίν· οὕτω γὰρ τὰ τρία πρόςωπα ἅμα πάντη ξυναΐδια καὶ οὐδαμῶς ἄλλο ἄλλου γε πρότερον· ἀλλ' ὅτι τὸ γεννᾶσθαι πρότερον ἐκ τῆς τοῦ χρήματος φύσεως τοῦ προβάλλεσθαι καὶ τὸ γεννᾶν τοῦ προβάλλειν οἷς προεπινοεῖται πατὴρ τοῦ προβάλλοντος. Καὶ αὕτη πάντως ἐστὶν ἡ τῶν θείων ὑποστάσεων τάξις, ἐκ τῆς πηγαίας ἀρχῆς καὶ αὐτὴ ἀνίσχουσα, τοῦ πατρὸς, καθ' ἣν ὁ πατὴρ μὲν τοῖν δυοῖν, ὁ δὲ υἱὸς τοῦ θείου πνεύματος πρότερος, καὶ ταῦτα κατὰ τὸ αὐτὸ τῆς ἀϊδιότητος, ἅμα πατρός τε ὄντος, υἱοῦ τε καὶ θείου Πνεύματος.

Ἀλλὰ μὴν κἀκεῖνο τοῖς εἰρημένοις προςθεῖναι δίκαιον, θεολογικώτατον ὄν, ὅτι ὁ πατὴρ ἑκάτερον τῶν θείων παράγει προςώπων ἴσον ἑαυτῷ πάντῃ πάντως καὶ ὅμοιον ταῖς αὐταῖς τῷ ἀριθμῷ τελειότησι. Πάντα γὰρ ὅσα πρόςεστι τῷ πατρὶ ἄνευ πατρότητος καὶ ὅσα περ ἐφαρμόττει τῇ θείᾳ πατρότητι καὶ ἄνευ πατρότητος ἅμα καὶ πνεύσεως καὶ ὅσα περ αὐταῖς κοινῶς ἐφαρμόττει κοινὰ καὶ τοῖς ἐκ πατρὸς εἶναι ὁ θεολογικὸς παραδίδωσι λόγος. Αὐτὰ μὲν γὰρ, ἤτοι πατρότης καὶ πατρότης ἅμα καὶ πνεῦσις καὶ ὅσα

1. συναϊδίως ΝΠΑΒΓ: συναιδίως Μ 2. ξυναΐδια ΠΜΑΓ: συναΐδια ΝΒ ἀλλ' Ξ: καὶ Γ 4. γεννᾶν ΝΜΑΒΓ: γεννὰν Α προεπινοεῖται ΝΠΜΑΓ: προεπινοεῖται ἐκ τοῦ τὸ πρῶτον γραφέντος πρὸεπινοεῖται Β 7. πατὴρ μὲν ΝΠΑΒΓ: μὲν πατὴρ Μ 8. αὐτὸ ΝΠΒΓ: ἀεὶ ΜΑ πατρός τε ΠΜΑΒΓ: πατρὸς τὲ Ν 9 ὄντος ΝΜΑΒΓ: όντος Π 10. ἀλλὰ μὴν ΠΜΑΒΓ: ἀλλαμὴν Ν εἰρημένοις ΝΜΒΓ: προειρημένοις ΠΑ προςθεῖναι ΝΠΑΒΓ: προσθεῖναι ἐκ τοῦ τὸ πρῶτον γραφέντος προσθῆναι Μ δίκαιον ΝΜΑΒΓ: δίκεον Π θεολογικώτατον ΝΠΜΑΓ: θεολογικότατον Β 11. ὅτι ΝΠΜΑΓ: καὶ ὅτι Β ὁ ΝΠΜΑΓ: λείπει Β ἑκάτερον ΝΜΑΒΓ: ἑκάτερον Π θείων ΝΜΑΒΓ: θεῖων Π 12. ἴσον ΝΠΜΑ: ἶσον Β πάντη ΝΜΑΒΓ: πἀντη Π πάντως ΠΜΑΒΓ: πάντ Π 14. ἐφαρμόττει ΝΜΑΒΓ: ἐφαρμόζει Π καὶ ἄνευ (ἄνευ Π) - πνεύσεως ΝΠΜΑΓ: λείπουσι Β 15. περ ΝΠΑΜΓ: πὲρ Β 17. καὶ πατρότης ΝΠΜΑΓ: καὶ υἱότης ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ᾤᾳ καὶ πατρότης Β

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

παρέπεται τῇ πατρότητι καὶ αὖ πάλιν πατρότητί τε καὶ πνεύσει, σχέσεις εἰσὶ μόνον, οὐ τελειότητες, ὥςπερ καὶ ἡ υἱότης καὶ ἡ ἐν τῷ Πνεύματι πνεῦσις· διὸ καὶ ἰδιότητες ταῦτα, ἑνὶ μόνῳ τῶν προσώπων ἑκάστου προσόντος ἥκιστα κινουμένου καὶ μεταπίπτοντος. Τὰ δὲ παρὰ ταῦτα πάντα τὰ αὐτὰ τῷ ἀριθμῷ κοινὰ τοῖς τρισὶν, ἵν' εἴη τοῖς αὐτοῖς ἴσος καὶ ὅμοιος θεὸς ὁ υἱὸς θεῷ τῷ πατρὶ καὶ θεὸς τὸ Πνεῦμα θεῷ πατρί τε καὶ τῷ υἱῷ· καὶ διὰ ταῦτα θεὸς εἷς τὰ τρία τῇ αὐτῇ καὶ μιᾷ οὐσίᾳ καὶ ταῖς αὐταῖς τελειότησι, τοῦ τρόπου μόνου πως ἐναλλάττοντος, οἷς ἐν πατρὶ μὲν πηγαίως ταῦτα καὶ ἀνάρχως καὶ ἀναιτίως καὶ μὴ παρ' ἄλλου του διδόμενα, ἐν δὲ τῷ υἱῷ καὶ πνεύματι παρ' ἄλλου τε διδόμενα τοῦ πατρὸς οὐκ ἀνάρχως, οὐ πηγαίως, οὐδ' ἀναιτίως. Μόνη γὰρ πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ πατὴρ καὶ μόνος αὐτὸς αἰτία καὶ αἴτιος, ὅτι καὶ μόνος ἀναίτιός τε καὶ ἄναρχος· οὐδὲ γὰρ ἔκ τινος καὶ αὐτὸς, ἵν' εἴη καὶ αὐτός πως αἰτιατὸν καὶ

1. παρέπεται Μ: περ ἕπεται ΝΠΑΒΓ: τῆ πατρότητι-πάλιν ΠΜΑΒΓ: τῆ Ν πατρότητί ΝΜΑΒΓ: πατρότητι Π πνεύσει ΝΠΜΑΓ: πνεῦσις ἐκ τοῦ τὸ πρῶτον γραφέντος πνεύσεως Β 2. οὐ ΝΠΜΑΓ: οὔτε Β ἡ ΝΠΑΒΓ: λείπει Μ ἡ ΝΠΑΒΓ: λείπει Μ 3. πνεῦσις ΝΠΑΒΓ: πνεῦσίς ἐκ τοῦ τὸ πρῶτον γραφέντος πνεύσεως Μ 4. προσώπων ἑκάστου ΝΜΑΓ: προσώντων ἑκάστου ἐν δὲ τῇ ᾤᾳ Γρ. προσώπων Β: ἑκάστου προσώπων Π προσόντος ΝΜΒΓ: πεσόντος ΠΑ κινουμένου ΝΜΑΒΓ: νουμένου Π 5. παρὰ ταῦτα ΝΠΑΒΓ: μεταταῦτα Μ 6. ἴσος ΝΠΜΑΓ: ἶσος Β 7. τῶ ΝΠΜΑΓ: λείπει Β 8. διὰ ταῦτα ΝΠΒΓ: διαταῦτα ΜΑ μιᾶ Γ: μιᾶ ΝΠΜΑ: μία Β 9. πως ΠΜΑΓ: πῶς ΝΒ 10. ἄλλου Μ: ἄλλού ΝΠΑΒΓ διδόμενα ΝΠΜΑΓ: δεόμενα· ἐν δὲ τῷ υἱῶ καὶ πνεύματι διαγεγραμμένα, ἐν δὲ τῇ ᾤᾳ Γρ. διδόμενα Β 10-11. ἐν δὲ-ἄλλού-διδόμενα ΠΑΒΓ: λείπουσι ΝΜ 11. οὐκ ΝΜΑΒΓ: λείπει Π 12. ἀναιτίως ΠΜΑΒΓ: ἀναιτίως Ν 15. ἵν' ΝΠΑΒΓ: ἵνα ἀρχόμενον τὸ πρῶτον ἀπὸ γράμματος ο εἶτα διορθωθέντος Μ

Ε.Υ.Δ τῆς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὰ αὐτῷ προςόντα παρ' ἄλλου του καὶ μὴ ἀνάρχως μηδὲ πηγαίως. Αὐτὸς γὰρ μόνος υἱοῦ καὶ Πνεύματος ἀρχὴ ἄναρχος καὶ ἀναίτιος, ὡς ἐλέγομεν.

Παράγων τοίνυν ὁ πατὴρ τὸν υἱὸν, δίδωσιν αὐτῷ τὴν θείαν οὐσίαν καὶ ὅσαι περ αὐτῆς τελειότητες, ὥςτε καὶ τὴν γεννητικὴν καὶ προβλητικὴν ἅμα δύναμιν. Τῆς γὰρ αὐτῆς οὐσίας τὰ πρόσωπα καὶ τὰς αὐτὰς ἔχει δήπουθεν τελειότητας, ὡς ἐδέδεικτο. Καὶ νοῦς δὲ καὶ βούλησις τελειότητες. Ἄλλως τε τίς οὐκ οἶδε νοῦν τε καὶ βούλησιν τὰ αὐτὰ πάντη πάντως ἐν πατρὶ καὶ υἱῷ καὶ τῷ Πνεύματι; Ἀλλὰ μὴν ὅθ' ὁ υἱὸς παρήγετο ἐκ πατρὸς ὡς πατρὸς, οὐ νοεῖται τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς ὡς προβολέως παράγεσθαι· προεπινοεῖται γὰρ ὁ πατὴρ ᾗ πατὴρ τοῦ προβολέως ᾗ προβολεὺς, ὡς ἐλέγετο, ἄλλως τε καὶ τῆς πατρότητος ὑφεστώσης, μιᾶς ἰδιότητος οὔσης, τὴν πατρικὴν ὑπόστασιν, καθάπερ καὶ τὸν υἱὸν ἡ υἱότης, καὶ τὸ Πνεῦμα, ἡ προβολὴ, οὐκ ἂν ἅμα εἴη πατρότης καὶ ἡ ἐν τῷ πατρὶ προβολή. Προεπινοηθήσεται γὰρ

1. αὐτῷ Γ: αὐτῶ ΝΠΜΑ: αὐτὰ Β  παρ' ΝΜΑΒΓ: παρ Π  ἄλλου Ν: ἄλλού ΠΜΑΒΓ  ἀνάρχως ΝΜΑΒΓ: ανάρχως Π  μηδὲ ΠΓ: μὴδὲ ΝΜΑΒ  3. ἐλέγομεν ΝΜΑΒΓ: λέγομεν Β  4. παράγων ΝΠΜΑΓ: παράγων μετὰ ἕτερον παράγων διαγεγραμμένον Β  5. περ ΝΠΑΓ: παρ' Μ  ὥστε καὶ τὴν γεννητικὴν συνεχῶς ἐν τῷ κειμένῳ ΝΠΜΑΓ: ὥστε ∧ ἐν δὲ τῇ ᾤᾳ καὶ τὴν γεννητικὴν Β  6. προβλητικὴν ΝΠΜΑΓ: τὴν προβλητικὴν Β  οὐσίας ΝΜΑΒΓ: οὐσίας Π  7. αὐτὰς ΝΠΜΑΓ: ἀρχὰς διαγεγραμμένον ἐν τῷ κειμένῳ. ἐν δὲ τῇ ᾤᾳ αὐτὰς Β  ἔχει ἐν τῷ κειμένῳ ΝΠΑΓ: πρόςθετον ἐν τῇ ᾤᾳ Β: λείπει Μ  ἐδέδεικτο ΠΜΑΒΓ: ἐδέδεκτο Ν  8. τελειότητος ΝΜΑΒΓ: ταιλειότητες Π  τίς ΝΠ: τὶς ΜΑΒΓ  9. πάντη ΝΜΑΒΓ: παντὴ Β  10. ἀλλὰ μὴν ΠΜΑΓ: ἀλλαμὴν Ν: ἀλλ' ὁ μὴν Β  ὅθ' ΠΜΑΒΓ: ὁθ Ν  ὁ ΝΠΜΑΓ: λείπει Α  ἐκ πατρὸς ΝΜΑΒΓ: ἐκ τοῦ πατρὸς Π  11. πνεῦμα τὸ ἅγιον ΝΠΜΑΒ: τὸ ἅγιον πνεῦμα Γ  τοῦ ΝΜΑΒΓ: λείπει Β  13. προβολεὺς ΠΜΑΒΓ: προβολὲς Ν  ὑφεστώσης ΠΓ: ὑφιστώσης ΝΜΑΒ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

πατρότης τῆς ἐν πατρί, ταὐτὸν δὲ εἰπεῖν τῆς ἐνεργητικῆς προβολῆς. Οὐκοῦν καὶ ὁ υἱός, ὅθ᾽ ὁ πατὴρ ὡς προβολεὺς παράγει τὸ Πνεῦμα τὸ ἅγιον, τὴν αὐτὴν ἔχων παρὰ τοῦ πατρὸς διὰ γεννήσεως δύναμιν, τὴν προβλητικὴν δῆλα δή, ξυνεπινοηθήσεται τῷ πατρὶ πρὸς τὴν τοῦ Πνεύματος πρόοδον, μίαν οὖσαν ἐκ πατρὸς δι᾽ υἱοῦ, μιᾷ δῆλα δὴ δυνάμει τε καὶ ἀρχῇ, τῇ ἐν πατρὶ καὶ υἱῷ, ἐν μὲν ἐκείνῳ πηγαίως οὔσῃ καὶ ἀνάρχως καὶ μὴ παρ᾽ ἄλλου, ἐν δὲ τῷ υἱῷ διδομένῃ διὰ γεννήσεως ἐκ πατρός, ὡς ἐξ ἀρχῆς ἀνάρχου καὶ πηγῆς καὶ αἰτίας, ἐξ ἧς ἑκάτερα πρόεισιν, υἱός τε καὶ Πνεῦμα ἅγιον. Ὥστε τὸ Πνεῦμα τὸ ἅγιον εἰκότως ἐκ πατρὸς ἐκπορεύεσθαι λέγεται δι᾽ υἱοῦ κατὰ τὴν ξυνεπτυγμένην θεολογίαν. Οὐδὲ γὰρ ἐκ μόνου πατρός, ἵνα μὴ νομίζοιτο ὁ υἱὸς αὐτῷ ἀνόμοιος, μὴ τὰς αὐτὰς ἔχων τελειότητας τῷ πατρὶ καὶ διὰ τοῦτο μηδ᾽ ὁμοούσιος, ὅπερ οὐδαμῶς ἀπέοικε τῇ τοῦ Ἀρείου αἱρέσει, τὸν υἱὸν ἀλλοτριούσῃ τῆς θείας φύσεως τοῦ πατρός· ὧν γὰρ αἱ δυνάμεις διάφοροι καὶ αὐτὰ ἂν εἶεν ταῖς οὐσίαις διάφορα· οὐδ᾽ αὖ ἐξ υἱοῦ, ἵνα μὴ πάλιν ὁ υἱὸς ἀρχὴ νομίζοιτο ἄναρχος κἀντεῦθεν πάλιν ἀλλότριος τῆς πατρικῆς οὐσίας καὶ φύσεως, πρὸς δὲ καὶ ἵνα μὴ υἱωνὸς νομίζοιτο τὸ Πνεῦμα τὸ ἅγιον τοῦ πατρὸς καὶ υἱὸς αὖ πάλιν τοῦ

1. ταὔτὸν Β: ταυτὸν ΝΠΜΑΓ: δὲ ΝΜΑΒΓ: δ᾽ Π 2. προβολεὺς ΠΜΑΒΓ: προβολὲς Ν 3 διὰ γεννήσεως ΝΑΒΓ: διὰ γενήσεως Π: διαγεννήσεως Μ 4 (καὶ 6). δῆλα δὴ Β: δηλαδὴ ΝΠΜΑΓ: ξυνεπινοηθήσεται ΠΜΑΒΓ: ὑνεπινοηθήσεται Ν 6. μιᾷ Γ: μιᾶ ΝΜΑΒΓ: μιἂ Ν τε ΠΑΒΓ: τὲ ΝΜ ἀρχῆ Ξ: ἀρχὴ Γ 7. οὔση Ξ: οὔσης Γ 8. διδομένῃ ἔγραψα: διδομένη ΞΓ ἐξ ἀρχῆς ΝΠΒΓ: ἐξαρχῆς ΜΠ 11. ξυνεπτυγμένην ΠΜΑΒΓ: ὑνεπτυγμένην Ν 13. διὰ τοῦτο ΝΠΒΓ: διατοῦτο Α: τοῦτο (δια supra) Μ μηδ᾽ ΝΠΒΓ: μὴδ᾽ ΜΑ ὅπερ ΠΜΑΒΓ: ὁπερ Ν 14. τοῦ ΝΜΑΒΓ: λείπει Π ἀρείου ΝΜΑΒΓ: ἄρείου Π ἀλλοτριούση ΝΜΑΒΓ: ἀλλοτριούσης Π 15. φύσεως ΝΠΑΒΓ: φύσεως μετὰ διαγεγραμμένον οὐσίας Μ 16. ἂν ΝΜΑΒΓ: ἆν Π οὐδ᾽ ΝΜΑΒΓ: οὐδ Π 17. πάλιν ΠΜΑΒΓ: πάλλιν Ν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

υἱοῦ τοῦ θεοῦ· ἦν γὰρ ἂν καὶ ὁ υἱὸς αὖ πάλιν πατήρ· πρὸς δὲ καὶ ἵνα μὴ νομίζοιτό τι τῷ υἱῷ προςεῖναι ὡς παρακτικὴ δύναμις τοῦ ἁγίου Πνεύματος, μὴ τὸ αὐτὸ ὂν τῷ ἀριθμῷ κἀν τῷ θεῷ καὶ πατρί. Ἐπειςάγεται γὰρ καὶ τούτῳ πάλιν αὖθις τὸ τῆς οὐσίας ἀνόμοιον, ἃ δὴ πάντα ἀνόσια καὶ ἀθέμιτα καὶ πόρρω τῆς τῶν Χριστιανῶν ἐκκλησίας καὶ πίστεως.

Διὰ τοῦτο οἱ τῆς ἐκκλησίας διδάσκαλοι καὶ ἡ καθολικὴ ἑβδόμη σύνοδος ἐκ τοῦ πατρὸς ἀπεφήναντο δι᾽ υἱοῦ τὸ ἅγιον ἐκπορεύεσθαι Πνεῦμα, οὐχ ὡς αἰτίου τοῦ υἱοῦ ὄντος, οὐδ᾽ ὡς ἀρχῆς ἁπλῶς καὶ προβολέως τῆς τοῦ Πνεύματος ὑποστάσεως, ἀλλ᾽ ὡς ξυναιτίου καὶ ἀρχῆς ἐξ ἀρχῆς, οὐδ᾽ ὡς μὴ οἵου τε ὄντος τοῦ πατρὸς μόνου μόνως τὸ Πνεῦμα παράγειν τὸ ἅγιον. Ἦ γὰρ ἂν οὐδὲ τὸν υἱὸν ἄνευ τινὸς ἑτέρου προσώπου γεννῆσαι μόνος πατὴρ ἠδύνατο οἷς τῆς αὐτῆς ἐστι τελειότητος τῶν παραγομένων ἑκάτερον καὶ δυνάμεως. Πατὴρ μὲν γὰρ αὐτὸς αὐτάρκως τὸν υἱὸν γεννᾷ καὶ τὸ Πνεῦμα προβάλλει τὸ ἅγιον, αὐτοῦ τε ὄντος ἔσται καὶ ὁ υἱὸς καὶ τὸ Πνεῦμα, αὐτοῦ τε αὖ ἀπόντος τῇ ἐπινοίᾳ οὐδ᾽ υἱὸς ὅλως ἔσται οὐδὲ Πνεῦμά πως ἐξ υἱοῦ οὐδ᾽ ὅλως ἓν οὐδὲν τῶν προςώπων,

1. ἂν ΝΜΑΒΓ: ἄν Π δὲ ΠΜΑΒΓ: δὲν Ν 3. τὸ αὐτὸ ΞΓ: τῷ αὐτῷ Migne ὂν ΝΜΑΒΓ: ὃν Π κἀν ΝΠΑΒ: κἂν Μ: κᾆν Γ 4. τούτῳ Γ: τούτω ΠΜΑΒ: τοῦτο Ν 7. διὰ τοῦτο ΝΠΒΓ: διατοῦτο ΜΑ ἑβδόμη ΒΓ: ζ$^{η}$ ΠΜΑ: ζ̅΄ Ν 8. ἀπεφήναντο (ἀπεφῆναντο Γ) δι᾽ υἱοῦ τὸ ἅγιον ΝΜΑΒΓ: δι᾽ υἱοῦ τὸ ἅγιον ἀπεφήναντο Π 9. οὐχ ΠΜΒΓ: οὐχ᾽ ΝΑ 10. ξυναιτίου ΠΜΑΒΓ: ὑναιτίου Ν 11. ἐξ ΝΜΒΓ: καὶ ἐξ ΠΑ ἀρχῆς ΠΜΒΓ: αρχῆς ΝΑ οἵου ΜΑΒΓ: οἶου ΝΠ 13. προσώπου ΝΜΑΒΓ: προσῶπου Π 14. ἐστι ΜΑΒΓ: ἐστὶ ΝΠ τελειότητος ΝΠΑΒΓ: τελειότητος ἐκ τοῦ τὸ πρῶτον γραφέντος τελείοτητος Μ παραγομένων ΠΜΑΒΓ: παραρμομένων Ν ἑκάτερον ΝΜΑΒΓ: εκάτερον Π 16 (καὶ 17). τε ΝΠΑΒΓ: τὲ Μ τε ΠΑΒΓ: τὲ ΝΜ 17. υἱὸς ΝΜΑΒΓ: ὁ υἱὸς Π 18. πνεῦμά ΑΒ: πνεῦμα ΝΜ: τὸ πνεῦμά ΠΓ οὐδ᾽ ὅλως ΝΜΒΓ: οὐδόλως ΠΑ οὐδὲν ΝΜΑΒΓ: οὗδὲν Π

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007